Σχόλια. Ἀλλ' ἴτ' ἐς λόγους.] ταῦτα τὰ πέντε κῶλα ἔοικεν ἐπῳδοῦ. καὶ εἰσὶ τὰ μὲν δύο τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἐκ τετραβράχεων. τὸ A δὲ παιωνικὸν ἐκ κρητικῶν διαρρύθμων. τὸ πέμπτον ἰαμβικὸν ἑφθημιμερὲς ἐκ τετραβράχεων, ἐφ' ἑκάστης στροφῆς παράγραφος ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Δεῦρο. δεῦρο. δεῦρο. δεῦρο.
Τοροτοροτοροτοροτίγξ.
Κικκαβαῦ. κικκαβαῦ.
Τοροτοροτοροτολιλιλίγξ.

*Huc, huc, huc, huc.*
*Toro toro, toro toro, toro tinx*
*Cicabau, ciccabau.*
*Toro toro, toro tolililinx.*

B

Σχόλια. Κικκαβαῦ.] τὰς γλαῦκας οὕτω φωνεῖν λέγουσιν. ὅθεν καὶ κικκαβὰς αὐτὰς λέγουσιν. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. οἱ δέ, κικυμίδας ὡς Καλλίμαχος. κὰρ τ' ἀγαθὴ κικυμίς. καὶ Ὅμηρος δέ, χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν. τὴν γλαῦκα ἀπὸ τῆς μορφῆς χαλκίδα. ἐπειδὴ χαλκίζει τῷ χρώματι. ἄλλως μίμημα τοῦτο ποιᾶς φωνῆς τῆς γλαυκός. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. διὸ καὶ εἶδος αὐτῆς πολὺ ἐν τῇ Ἀττικῇ καὶ εἰς τιμὴν τῆς θεοῦ ἐν τοῖς νομίσμασιν ἐγχαράττουσι γλαῦκα. διὰ τὸ χαλκῶδες δὲ ἔχειν τὸ πτερὸν λέγεται καὶ χαλκίς, λέγεται καὶ κύμινδις.

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

C

## Constitvtio Per circuncisionem.

Πει. Ὁρᾷς τιν' ὄρνιν; Εὐ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Καίτοι κέχηνά γ' εἰς τὸν οὐρανὸν βλέπων.
Ἄλλως ἄρ' οὔποψ ὡς ἔοικ' εἰς τὴν λόχμην
Ἐμβὰς ἐπῶζε, χαραδριὸν μιμούμενος.
Επ. Τοροτίγξ. τοροτίγξ.
Πει. Ὠγάθ', ἀλλ' οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.
Εὐ. Νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δήπου ταὼς;
Πει. Οὗτος αὐτὸς νῷν φράσει, τίς ἐστιν ὄρνις οὑτοσί;
Επ. Οὗτος οὐ τῶν ἠθάδων τῶνδ' ὧν ὁρᾶθ' ὑμεῖς ἀεί.
Ἀλλὰ λιμναῖος. Πει. βαβαί. καλός γε καὶ φοινικιοῦς.
Επ. Εἰκότως. καὶ γὰρ ὄνομ' αὐτῷ γ' ἐστὶ φοινικόπτερος.
Πει. Οὗτος, ὦ σέ τοι. Επ. τί βωστρεῖς. Πει. ἕτερος ὄρνις οὑτοσί.
Επ. Νὴ Δί', ἕτερος δῆτα χ' οὗτος ἔξεδρον χώραν ἔχων.

Pi. *Vides quem auem?* Ev. Per *Apollinem ego quidem non,*
*Tamen oscitaui in cœlum aspiciens.*
*Aliter igitur epops, ut videtur, in syluam*
*Ingrediens cecinit charadrium imitans.*

D Ep. *Torotinx, torotinx.*
Pi. *O bone, sed hic & iam aliquis auis venit.*
Ev. Per *Iouem auis certè, qui unquam, non iamdum pauo?*
Pi. *Hic ipse nobis dicet qui est auis hic.*
EP. *Hic non consuetorum horum quos videtis vos semper,*
E *Sed paludosus.* Pi. *Papæ, pulcher & phœnicius.*
EP. *Decenter etenim nomen ipsi est phœnicopterus.*
Pi. *Hic ô te.* EP. *Quid clamas?* Pi. *Alter auis hic.*
EP. *Per Iouem, alter iam fortè hic aduenam locum habens.*

Σχόλια. Ἐμβὰς ἐπῶζε.] ἐπώζειν ἐστὶ τὸ ἐπὶ τοῖς ᾠοῖς καθεζόμενα τὰ ὄρνεα κράζειν. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐκρύπτετο. χαραδριὸς δέ ἐστιν, εἶδος ὀρνέου μεταβαλλομένου εἰς τὰ προκείμενα. διχῶς δέ. ἐπὶ μὲν τοῦ ὀρνέου, χαραδριὸν ὀξυτονητέον. εἰ δὲ ἐπὶ τῆς χαράδρας βαρυτονεῖται. ἐπεὶ φασὶν αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιοῦνται.

Bisetvs. Παρὰ τῷ Σουίδᾳ ἐπώαζε γέγραπται. ἐπωάζειν δέ, φησι, τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. καὶ ἐπωάζουσιν, ἐπὶ τοῖς ᾠοῖς ᾄδουσι, βοῶσι. τὰ δὲ ὄρνεα ἐν τῷ ἐπωάζειν λάλα εἰσίν. εἰ δὲ τὸ ἐπῶζε καλῶς ἔχει, τὸ ἃ μέτρου χάριν ἀποβληθὲν λέξεις.

Σχόλια. Χαραδριὸν μιμούμενος] Εὐφρόνιος ἐκ τοῦ χαραδριὸν μιμούμενος ἀξιοῖ δέχεσθαι ἀποκεκρυμμένως. ἐπεὶ γὰρ τοὺς ἰκτερικοὺς ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, οἱ πωλοῦντες αὐτὸν φασὶ κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις ἰαθῇ παρέργως. Ἀνδρέας δέ φησι τῶν ἰκτερικῶν οὐ τοὺς ἰδόντας, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάττεσθαι τοῦ πάθους.

Τοροτίγξ.] οἱ μὲν καὶ τοῦτο τοῦ Ἔποπος λέγουσιν εἶναι, οἱ δὲ ὄρνιθός τινος παραπλησίου. καὶ τοῦτο F δὲ τῶν εἰρημένων ὀρνέων. Ἀγάθ' ἀλλ' οὑτοσί.] κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ μ. ὧν τελευταῖος καὶ βλέπουσιν εἰς σὲ κἀμὲ τοῦτο μὲν κἀμοὶ δοκεῖ. ἐν εἰσθέσει δὲ μετὰ τὸν λζ στίχον κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα δύο, ἐπὶ τῷ τέλει κορωνίς. Καὶ δή τις ὄρνις.] τοῦτο ἀποδέδωκε πρὸς τὰ ἄνω ἃ εἶπεν ὁ ἕτερος. ἄλλως ἄρ' οὔποψ. ταὼς δὲ Ἀττικῶς περισπᾶται. Οὗτος G αὐτός.] ἀντὶ τοῦ ὁ Ἔποψ ἐρεῖ ἡμῖν. Καλός γε καὶ φοινικιοῦς] ἤν γὰρ φοινικόπτερος. λέγει οὖν ὅτι ἀντὶ τοῦ πυρρός. περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ους ἁπλῶν, καὶ ἔστι παρὰ τὴν φοίνικος γενικήν. φοινικόεις καὶ φοινίκεος ἐν ὑπερθέσει, καὶ φοινικοῦς ἐν συναιρέσει.

Biset. Βωστρεῖς] Εὐστάθιος. βωστρεῖν, τὸ ἀναβοᾶσθαι, ἤγουν ἐπικαλεῖσθαι. παρὰ τὸ βοῶ, βοήσω, βοητῶ, καὶ κατὰ κρᾶσιν βωτῶ, καὶ πλεονασμῷ τοῦ σ, καὶ τοῦ ρ, βωστρῶ.